20 πρὶν ἢ κτισθῆναι τὰ πάντα ἔγνωσται αὐτῷ,
οὕτως καὶ μετὰ τὸ συντελεσθῆναι.
21 οὗτος ἐν πλατείαις πόλεως ἐκδικηθήσεται,
καὶ οὗ οὐχ ὑπενόησεν, πιασθήσεται.
22 Οὕτως καὶ γυνὴ καταλιποῦσα τὸν ἄνδρα
καὶ παριστῶσα κληρονόμον ἐξ ἀλλοτρίου.
23 πρῶτον μὲν γὰρ ἐν νόμῳ ὑψίστου ἠπείθησεν,
καὶ δεύτερον εἰς ἄνδρα αὐτῆς ἐπλημμέλησεν,
καὶ τὸ τρίτον ἐν πορνείᾳ ἐμοιχεύθη
καὶ ἐξ ἀλλοτρίου ἀνδρὸς τέκνα παρέστησεν.
24 αὕτη εἰς ἐκκλησίαν ἐξαχθήσεται,
καὶ ἐπὶ τὰ τέκνα αὐτῆς ἐπισκοπὴ ἔσται.
25 οὐ διαδώσουσιν τὰ τέκνα αὐτῆς εἰς ῥίζαν,
καὶ οἱ κλάδοι αὐτῆς οὐκ οἴσουσιν καρπόν.
26 καταλείψει εἰς κατάραν τὸ μνημόσυνον αὐτῆς,
καὶ τὸ ὄνειδος αὐτῆς οὐκ ἐξαλειφθήσεται,
27 καὶ ἐπιγνώσονται οἱ καταλειφθέντες
ὅτι οὐθὲν κρεῖττον φόβου κυρίου
καὶ οὐθὲν γλυκύτερον τοῦ προσέχειν ἐντολαῖς κυρίου.

24 1 Ἡ σοφία αἰνέσει ψυχὴν αὐτῆς
καὶ ἐν μέσῳ λαοῦ αὐτῆς καυχήσεται·
2 ἐν ἐκκλησίᾳ ὑψίστου στόμα αὐτῆς ἀνοίξει
καὶ ἔναντι δυνάμεως αὐτοῦ καυχήσεται
3 Ἐγὼ ἀπὸ στόματος ὑψίστου ἐξῆλθον
καὶ ὡς ὁμίχλη κατεκάλυψα γῆν·
4 ἐγὼ ἐν ὑψηλοῖς κατεσκήνωσα,
καὶ ὁ θρόνος μου ἐν στύλῳ νεφέλης·
5 γῦρον οὐρανοῦ ἐκύκλωσα μόνη
καὶ ἐν βάθει ἀβύσσων περιεπάτησα·
6 ἐν κύμασιν θαλάσσης καὶ ἐν πάσῃ τῇ γῇ
καὶ ἐν παντὶ λαῷ καὶ ἔθνει ἐκτησάμην.
7 μετὰ τούτων πάντων ἀνάπαυσιν ἐζήτησα
καὶ ἐν κληρονομίᾳ τίνος αὐλισθήσομαι.
8 τότε ἐνετείλατό μοι ὁ κτίστης ἁπάντων,
καὶ ὁ κτίσας με κατέπαυσεν τὴν σκηνήν μου
καὶ εἶπεν Ἐν Ιακωβ κατασκήνωσον
καὶ ἐν Ισραηλ κατακληρονομήθητι.

20$^2$ συντελ.] συν > A† || 21$^2$ ου] ος A† | πιασθ.] κολασθ. A† || 23$^1$ υψιστω A† | 23$^2$ αυτης] εαυ. B† | 23$^4$ και > B || 25$^2$ ουκ οισ.] ου δωσουσιν B†
24 1$^1$] pr. titulum αινεσις σοφιας B, σοφιας αινεσις SA: cf. 18 30 | η > S*V† | 1$^2$ καυχησονται A† || 2$^1$ στομα] pr. το S || 6$^2$ και ult. > S*† | εκτησ.] ηγησ. S$^c$† || 7$^1$ αναπ. εζητ.] tr. A† || 8$^3$ εν > A† | 8$^4$ κατακληρ.] κατα > A†



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/421 UNIVERSITÄT LEIPZIG